μή τιν᾽ ἔχῃ δόλον.
δειμαίνω συμφορὰν
ἐφ᾽ ὅ ποτε βάσεται.
ἄτοπος ἄτοπα γὰρ παραδίδωσί μοι
τάδε θεοῦ φήμα.
ἔχει δόλον τύχαν θ᾽ ὁ παῖς
ἄλλων τραφεὶς ἐξ αἱμάτων.
τίς οὐ τάδε ξυνοίσεται;
φίλαι, πότερ᾽ ἐμᾷ δεσποίνᾳ antistr.
τάδε τορῶς ἐς οὖς γεγωνήσομεν
πόσιν, ἐν ᾧ τὰ πάντ᾽ ἔχουσ᾽ ἐλπίδων
μέτοχος ἦν τλάμων;
νῦν δ᾽ ἣ μὲν ἔρρει συμφοραῖς, ὃ δ᾽ εὐτυχεῖ,
πολιὸν εἰσπεσοῦσα γῆρας, πόσις δ᾽
ἀτίετος φίλων.
μέλεος, ὃς θυραῖος ἐλθὼν δόμους
μέγαν ἐς ὄλβον οὐκ ἔσωσε τύχης.
ὄλοιτ᾽ ὄλοιθ᾽ ὁ πότνιαν
ἐξαπαφὼν ἐμάν·
καὶ θεοῖσιν μὴ τύχοι
καλλίφλογα πέλανον ἐπὶ
πυρὶ καθαγνίσας· τὸ δ᾽ ἐμὸν εἴσεται
. . . . . . .
. . τυραννίδος φίλα.
ἦ δὴ πέλας δείπνων κυρεῖ
παῖς καὶ πατὴρ νέος νέων.
ἵνα δειράδες Παρνασοῦ πέτρας
ἔχουσαι σκόπελον οὐράνιόν θ᾽ ἕδραν,
ἵνα Βάκχιος ἀμφιπύρους ἀνέχων πεύκας
λαιψηρὰ πηδᾷ νυκτιπόλοις ἅμα σὺν Βάκχαις.
μή τί ποτ᾽ εἰς ἐμὰν πόλιν ἵκοιθ᾽ ὁ παῖς,

---

686. *ἔχει B ἔχῃ C* 691. *τόδε θεοῦ φήμα*] Nauckius, *τόδε τ᾽ εὔφημα B τὸ δί ποτ᾽ εὔφημα C* 704. *ὄλοιτ᾽ ὄλοιθ᾽ ὁ πότνιαν*] Canterus, *ὄλοιτ᾽ ὄλοιτο πότνια B ὄλοιτ᾽ ὄλοιτ᾽ ὦ πότνιαν C* 712. *πέλας*] Seidlerus, *πελάσας* libri. *δεῖπνον B δείπνων C* 716. *ἀμφιπύρους*] Brodaeus, *ἀμφὶ πόρους* libri. 719. *μή τί ποτ᾽*] Hermannus, *μήποτ᾽* libri.